Δρᾶν ἀντ' ἄλλης ἀρχῆς ἐστι, τῶν δ' ἀρχαίων ἀμελῆσαι. A
Πρ. Μή νυν πρότερον μηδεὶς ὑμῶν ἀντείπῃ μηδ' ὑποκρούσῃ,
Πρὶν ἐπίστασθαι τὴν ἐπίνοιαν, καὶ τοῦ φράζοντος ἀκοῦσαι.
Κοινωνεῖν γὰρ πάντας φήσω χρῆναι, πάντων μετέχοντας,
Κἀκ ταὐτοῦ ζῆν. καὶ μὴ τὸν μὲν πλουτεῖν, τὸν δ' ἄθλιον εἶναι. B
Μηδὲ γεωργεῖν τὸν μὲν πολλήν, τῷ δ' εἶναι μηδὲ ταφῆναι.
Μηδ' ἀνδραπόδοις τὸν μὲν χρῆσθαι πολλοῖς, τὸν δ' ἀκολούθῳ.
Ἀλλ' ἕνα ποιῶ κοινὸν πᾶσι βίοτον, καὶ τοῦτον ὅμοιον.
Βλ. Πῶς οὖν ἔσται κοινὸς ἅπασι. Πρ. κατέδει σπέλεθον πρότερός μοι.
Βλ. Τῶν σπελέθων κοινωνοῦμεν; Πρ. μὰ Δί' ἀλλ' ἔφθης μ' ὑποκρούσας. C
Τοῦτο γὰρ ἤμελλον ἐγὼ λέξειν. τὴν γῆν πρώτιστα ποιήσω
Κοινὴν πάντων. καὶ τἀργύριον. καὶ τἄλλ' ὁπόσ' ἐστὶν ἑκάστῳ.
Εἶτ' ἀπὸ τούτων κοινῶν ὄντων ἡμεῖς βοσκήσομεν ὑμᾶς
Ταμιευόμεναι καὶ φειδόμεναι καὶ τὴν γνώμην προσέχουσαι. D
Βλ. Πῶς οὖν ὅστις μὴ κέκτηται γῆν ἡμῶν, ἀργύριον δὲ
Καὶ Δαρεικούς, ἀφανῆ πλοῦτον; Πρ. τοῦτ' ἐς τὸ μέσον καταθήσει.
Καὶ μὴ καταθεὶς ψευδορκήσει. Βλ. κἀκτήσατο γὰρ διὰ τοῦτο.
Πρ. Ἀλλ' οὐδέν τοι χρήσιμον ἔσται πάντως αὐτῷ. Βλ. κατὰ δή τί; E
Πρ. Οὐδεὶς οὐδ' ἐν πενίᾳ δράσει, πάντα γὰρ ἕξουσιν ἅπαντες.
Ἄρτους, τεμάχη, μάζας, χλαίνας, οἶνον, στεφάνους, ἐρεβίνθους.
Ὥστε τί κέρδος μὴ καταθεῖναι. σὺ γὰρ ἐξευρὼν ἀπόδειξον.
Βλ. Οὔκουν καὶ νῦν οὗτοι μᾶλλον κλέπτουσ' οἷς ταῦτα πάρεστι;
Πρ. Πρότερόν γ' ὦ 'ταῖρ' ὅτε τοῖσι νόμοισι διεχρώμεσθα προτέροισιν. F
Νῦν δ' ἔσται γὰρ βίος ἐκ κοινοῦ, τί τὸ κέρδος μὴ καταθεῖναι;
Βλ. Ἢν μείρακ' ἰδὼν ἐπιθυμήσῃ, καὶ βούλεται τοῦτον σκαλαθῦραι,
Ἕξει τούτων ἀφελὼν δοῦναι. τῶν ἐκ κοινοῦ δὲ μεθέξει
Ξυγκαταδαρθών. Πρ. ἀλλ' ἐξέσται προῖκ' αὐτῷ ξυγκαταδαρθεῖν. G

Facere pro alia dominatione eſt, hæc autem antiqua negligere.
PR. Non nunc prius nullus veſtrûm contradicat, neq; interrumpat,
Ante ſcire opinionem & dicente audire.
Communicare enim omnes dicam oportere omnium participantes,
Et ex ipſo viuere, & non hunc quidem diteſcere, illum autem miſerum eſſe.
Neque agricolare hunc quidem multam, huic autem eſſe neque ſepeliri.
Neque mancipijs hunc quidem vti multis, illum autem ſequentem.
Sed vnam faciam communem omnibus vitam, & hanc æquam.
BLE. Quomodo igitur erit communis omnibus? PR. Comedes ſtercus prior mihi.
BLE. Hæc ſtercora communicabimus? PRA. per Iouem, ſed præueniſti me interrumpens,
Hoc enim volebam ego dicere, terram primum faciam
Communem omnium, & argentum, & alia quæcunque ſunt vnicuique.
Poſtea ab his communibus exiſtentibus, nos paſcemus vos
Gubernantes, & parcentes, & opinionem attendentes.
BLE. Quomodo igitur qui non poſſidet terram noſtrum, argentum autem
Et Daricos latentes diuitias? PR. Hoc in medium deponet,
Et non deponens mentietur. BLE. Et poſſedit enim propter hoc?
PR. Sed nil vtile erit omnino ipſi. BLE. ſecundum quid?
PR. Nullus neque in paupertate faciet, omnia enim habebunt omnes,
Panes, partes, placentas, veſtes, vinum, coronas, cicera.
Quare quod lucrum, non deponere? tu enim excogitans oſtende.
BLE. Non & nunc hi magis furantur, quibus hæc adſunt?
PR. Prius ô amice, quando his legibus vtebamur prioribus.
Nunc autem, erit enim vita ex communi, quod lucrum, non deponere?
BLE. Si adoleſcentulum videns cupiet, & volet hunc ſubagitare,
Habebit horum facilium dare? eorum ex communi participabit
Simul dormiens? PR. ſed licebit dotem ipſi ſimul dormire.

Σχόλια. Σπελεθόν.] κόπρον. καὶ ἀλλαχοῦ, ἐν σκότῳ λάβοι τῇ χειρὶ σπέλεθον ἀρτίως κεχεσμένον. Ἔφθης μ' ὑποκρούσας] ὅτι ὑπεκρούσω ἐρωτῶν πρότερός μου.

Καὶ Δαρεικούς.] εἰσὶ μὲν χρυσοῖ στατῆρες οἱ Δαρεικοί, ἠδύνατο δὲ ἕκαστος αὐτῶν, ὅπερ ὁ παρὰ τοῖς Ἀττικοῖς ὀνομαζόμενος χρυσοῦς. ἐκ ἀπὸ Δαρείου τοῦ Ξέρξου πατρὸς